24 **7.** Harpocr. s. v. *αἰγίδας ἐκάλουν τὰ ἐκ τῶν στεμμάτων δίκτυα· Λυκοῦργος ἐν τῷ Περὶ τῆς διοικήσεως καὶ Νυμφόδωρος* (FGrHist 572 F 15). *Ἡρόδοτος δ᾽ ἐν δ′* (4, 189, 2) *ταύτας φησὶν ὑπὸ Λιβύων αἰγέας καλεῖσθαι.*

25 **8.** Harpocr. s. v. *Λυσίμαχος· . . . ἕτερος δ᾽ ἐστὶ Λυσίμαχος οὗ μνημονεύει Λυκοῦργος ἐν τῷ Περὶ τῆς διοικήσεως ὡς εὐτελοῦς μελοποιοῦ.*

26 **9.** Harpocr. s. v. *ὀχεῖον· . . . Λυκοῦργος δ᾽ ἐν τῷ Περὶ τῆς διοικήσεως γείτονας τοῦ ὀχείου φησί· μήποτε δὲ ἐπὶ τόπου τινός, ἐν ᾧ ὀχεῖαι γίνονται κτηνῶν ἢ ὀχήματα μισθοῦται.*

27 **10.** Harpocr. s. v. *σείρινα· Λυκοῦργος Περὶ τῆς διοικήσεως. σείριον ἐκάλουν λεπτὸν ἱμάτιον ἀσπάθητον, οἷον θέριστρον, καθά φασιν οἱ γλωσσογράφοι. καὶ σειρὴν δὲ ὁ λεπτὸς καὶ διαφανὴς χιτών, εὔθετος τότε ὅτε ἐστὶν ὁ Σείριος. ἔστι δὲ καὶ Σεῖρις πόλις Ἰταλική, καὶ τάχα τὰ ἔνθεν ὑφάσματα ἤ τινα ἄλλα σείρινα εἶπεν ὁ ῥήτωρ. ἐν ἐνίοις μέντοι χωρὶς τοῦ ε γράφεται σίρινα.*

## *VI. ΠΕΡΙ ΤΗΣ ΙΕΡΕΙΑΣ*

28 **1.** Harpocr. s. v. *παράκλησις· ἀντὶ τοῦ προτροπὴ· . . . τίθεται μέντοι σπανίως καὶ ἀντὶ τῆς δεήσεως· Λυκοῦργος*